www.tezaurliturgic.ro


*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος (Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

*****************************************************************

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ
# ΤΑΤΙΑΝΗΣ

*
*
* * * * *
*
*

Ἀθῆναι 2016

Scanned with CamScanner

www.tezaurliturgic.ro


# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ
# ΤΑΤΙΑΝΗΣ

Ἡ Μνήμη αὐτῆς τελεῖται τῇ ΙΒ΄ Ἰανουαρίου.

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια.

****************************************

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔνθεε διάκονε,
Τατιανὴ ἀξιάγαστε,
ἀθληφόρε πανύμνητε,
Χριστοῦ, τοῦ Νυμφίου σου,
Μάρτυς Ἐκκλησίας,
ἤθλησας ἐν Ῥώμῃ
καὶ Ἀλεξάνδρου τοῦ στυγνοῦ
Σεβήρου ἄθλοις τοῖς σοῖς ἐπάτησας
τὸ ἐπηρμένον φρύαγμα
καὶ πεπλησμένη φρονήματος
ἀνδρικοῦ καθυπέμεινας
κεφαλῆς σου ἀπότμησιν.

Μάρτυς ἀκατάβλητε,
Τατιανή, καθυπέμεινας
τοῦ σαρκίου σου γύμνωσιν,
δαρμούς, ξέσιν σώματος
ἁπαλοῦ σου, ῥίψιν
εἰς πεπυρωμένην
κάμινον καὶ σῆς κεφαλῆς
τομὴν τιμίας, ὡς ἄλλου πάσχοντος·
διό σε μακαρίζοντες
καὶ σὴν πανένδοξον ἄθλησιν

Scanned with CamScanner

www.tezaurliturgic.ro


ἀνυμνοῦμεν τὴν μνήμην σου
τὴν σεπτὴν ἑορτάζομεν.

Ἔκλινας τὴν κάραν σου,
Τατιανή, ὥσπερ σφάγιον
παναμώμητον, ἔνδοξε,
σεβόντων τὰ εἴδωλα
ξίφει παρανόμων
καὶ τῶν σῶν αἱμάτων
ῥοαῖς στολὴν παρθενικὴν
τὴν σὴν ἐπέχρωσας, ἀξιάγαστε,
τῆς Ῥώμης σεμνολόγημα
καὶ τῆς Χριστοῦ θείας πίστεως
πανευῶδες κιννάμωμον
καὶ πανεύοσμον λείριον.

Αἴγινα ἡ εὔσημος,
Τατιανή, μακαρίζει σε
καὶ τιμῶσα τὴν μνήμην σου
τὴν πάντιμον σήμερον
σπεύδει προσκυνῆσαι
σὴν σεπτὴν εἰκόνα,
εὐσεβεστάτη ἣν γυνὴ
εἰς γῆς λαγόνας
ἀνεῦρε χαίρουσα,
καὶ ἤγειρε πρὸς χάριν σου
Ναὸν πιστῶν σὺν συστήμασιν
εἰς τὸν τόπον εὑρέσεως
ταύτης, Μάρτυς πανθαύμαστε.

Δόξα. Ἦχος β΄.

Τὴν διάκονον τῆς ἐν Ῥώμῃ Ἐκκλησίας,
Τατιανήν, τὴν πανεύφημον ἀθληφόρον,
ὡς ὑπερόπτιν τῆς θηλείας φύσεως
ἀνδρικοῦ ἐμπεπλησμένην φρονήματος
ἐν εὐλαβείᾳ μακαρίσωμεν καὶ οὕτως εἴπωμεν·
Πολύαθλε Μάρτυς, ἡ καλῶς ἀγωνισαμένη
καὶ οὐρανόθεν δεξαμένη τὸν ἄφθαρτον στέφανον,
μὴ παύσῃ δεομένη τοῦ σοῦ ἐν πόλῳ Νυμφίου
ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

Scanned with CamScanner

www.tezaurliturgic.ro


**Καὶ νῦν. Θεοτοκίον**

Τὴν πᾶσαν ἐλπίδα μου...

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαῖρε, Τατιανή,
Χριστοῦ τῶν διακόνων
τῆς Ἐκκλησίας γέρας,
ἡ ξίφει ὑποστᾶσα
τῆς κεφαλῆς σου ἔκτμησιν.

Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Χαῖρε, Τατιανή,
τῆς Ῥώμης κοσμιότης,
ἡ κολασμοὺς παντοίους
ἀνδρείᾳ, καλλιμάρτυς,
ψυχῇ καθυπομείνασα.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Χαῖρε, Τατιανή,
ἡ πῦρ μὴ πτοηθεῖσα
καμίνου οὔτ' ὀδόντας
θηρῶν Θεοῦ δυνάμει,
τοῦ νίκης στέφος δόντος σοι.

**Δόξα. Τριαδικόν.**

Δόξα Σοι, ὁ Θεός,
διακονῶν τοῖς πᾶσι,
Τριὰς ὑπεραγία,
ἀπαύστως καὶ στηρίζων
τοὺς πίστει Σε δοξάζοντας.

**Καὶ νῦν. Θεοτοκίον.**

Χαῖρε, Χριστιανῶν
ὁ φύλαξ καὶ ἡ σκέπη,
Κυρία Θεοτόκε,
ἡ ἐναργὴς σῶν δούλων
ἀντίληψις ἐν κλύδωσι.

Scanned with CamScanner

www.tezaurliturgic.ro



Νῦν ἀπολύεις...τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

*********************************************

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια·

Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.

Τατιανὴν τὴν γενναίαν
Χριστοῦ ἀθλήτριαν,
προθύμως ἐνδεέσι
καὶ πτωχοῖς τῆς ἐν Ῥώμῃ
ἁγίας Ἐκκλησίας ὡς ἀληθῶς
οἱ πιστοὶ εὐφημήσωμεν
διακονήσασαν, σκεῦος ὡς τιμαλφὲς
Παρακλήτου πάντες Πνεύματος.

Τὴν ὑποδείξασαν τόπον
αὐτῆς εὑρέσεως,
Τατιανήν, εἰκόνος
ἐν τῇ Λάκκᾳ Αἰγίνης
ἐκθύμως Αἰγηνῖται πάντες πιστοὶ
ὡς καλλίνικον Μάρτυρα
ἀνευφημοῦμεν τῆς πίστεως τοῦ Χριστοῦ
καὶ πηγὴν θαυμάτων ἄφθονον.

Σὺν τῷ χορῷ σῶν δημίων
λαμπρῶς ἐνήθλησας,
Τατιανὴ στεῤῥόφρον,
ἐν τῇ Ῥώμῃ καὶ ὄμβροις
αἱμάτων σου πανάγνων χλαῖναν ψυχῆς
σῆς παρθένου ἐφοίνιξας,
ἀμπεχομένη ἣν ἔδραμες τῷ Χριστῷ
ὑπαντῆσαι καὶ Νυμφίῳ σου.

Διακονοῦσα ἐν Ῥώμῃ
τοῖς χρείαν ἔχουσι,

Scanned with CamScanner

www.tezaurliturgic.ro



Τατιανή, Σεβήρου
Ἀλεξάνδρου προστάξει,
τοῦ ἄφρονος τυράννου, εἰς κολασμοὺς
παρεδόθης καὶ θάνατον
δι' ἀποτμήσεως κάρας σου τῆς σεπτῆς,
καλλιμάρτυς καρτερόψυχε.

Ὁ σὸς Ναὸς ἐν Αἰγίνῃ
ἐδείχθη, πάγκαλε
Τατιανή, χειμάῤῥους
ἰαμάτων καὶ φρέαρ
ἀκένωτον θαυμάτων· ὅθεν πιστῶς
προσερχόμενοι πάντοτε
οἱ Αἰγινῆται λαμβάνομεν δαψιλῶς
τὰ δωρήματα σῆς χάριτος.

Πεποικιλμένη ἐλαίῳ
τῆς παρθενίας σου
καὶ περιβεβλημένη
ἀρετῆς τὸν μανδύαν
εἰσῆλθες εἰς τὸν στίβον, Τατιανή,
μαρτυρίου καὶ ἤθλησας
ὡς ἄλλου πάσχοντος, Μάρτυς περικλεές,
τοῦ Χριστοῦ ἀγάπης ἔσοπτρον.

Δόξα. Ἦχος πλ. β΄.

Τὴν διακονήσασαν ταῖς χρείαις τῶν πενήτων,
πολύαθλον τῆς Ρώμης μεγαλύνωμεν καλλιμάρτυρα,
Τατιανὴν τὴν πανένδοξον,
ὑπὸ θείου ἔρωτος τρωθεῖσαν καὶ διὰ Χριστὸν ἀθλήσασαν
ἐν κατανύξει ψάλλοντες·
Ἡ ὡς προῖκαν πολύτιμον Χριστῷ προσενεγκοῦσα
τὴν αἱμόφυρτον κεφαλήν σου
καὶ ὑπ' Αὐτοῦ στεφθεῖσα ἀφθαρσίας στέφει,
μὴ παύσῃ ἐκ τῆς οὐρανίου σου παστάδος
ἐκτενῶς δυσωποῦσα τὸν σὸν ὡραῖον Νυμφίον
ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,....

Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Scanned with CamScanner

www.tezaurliturgic.ro



Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. λα´ 10 - 31)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει· ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὐτῆς τὸν πλοῦτον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ· πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι εἰσί. Δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. Τὸ στόμα δὲ ἀνοίγει σαφῶς καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλούτησαν καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. μγ´ 9 - μδ´ 1)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι.

Scanned with CamScanner

www.tezaurliturgic.ro



Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄ 1 - 9 )

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ
### Ἰδιόμελα.

Ἦχος α΄.

Δεῦτε πιστοὶ τὸ θεῖον τῆς ἀριστείας σεμνολόγημα,
τὴν πανεύφημον Χριστοῦ νύμφην
καὶ ἀήττητον καλλιμάρτυρα, Τατιανήν, ὑμνήσωμεν
ἐν εὐλαβείᾳ λέγοντες·
Ἡ θριαμβεύσασα τοὺς τὰ εἴδωλα σέβοντας
καὶ ἄθλοις μαρτυρίου τὸ Εὐαγγέλιον ὡραΐσασα,
ὡς ἀνδρεία γυνὴ καὶ στεῤῥόψυχος
στέφει ἀφθάρτῳ ἐστέφθης θεόθεν
καὶ χάριν εἴληφας πρεσβεύειν ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος β΄.

Καταλιποῦσα τὴν τοῦ οἴκου σου εὐμάρειαν
καὶ τὴν διακονίαν τῶν πτωχῶν καὶ πενήτων

Scanned with CamScanner

www.tezaurliturgic.ro



προθύμως εἰσῆλθες εἰς τὸ τῆς ἀθλήσεως στάδιον
διὰ Χριστοῦ ὁμολογίας, Τατιανὴ πανένδοξε·
ὅθεν τὴν μνήμην σου σήμερον ἑορτάζοντες
καὶ τὰ κατορθώματά σου μεγαλύνοντες,
αἰνοῦμεν τὸν σὲ δοξάσαντα Κύριον,
πιστοῖς τὸν πλουσίως παρέχοντα τὸ ἔλεος.

Ἦχος γ΄.

Μαρτυρικὸν ἀμπεχομένη χιτῶνα,
πεφοινιγμένον τοῖς οἰκείοις σου αἵμασιν
ἔδραμες ὡς ἔλαφος τῷ σῷ Νυμφίῳ ὑπαντῆσαι,
Τατιανὴ καρτερόψυχε·
Εὐφραινομένη οὖν ἐν πόλῳ δόξης
καὶ Ἀγγέλοις συναγαλλομένη
ὡς Μάρτυς κεφαλότμητος,
μὴ παύσῃ δεομένη τοῦ εὐϊλάτου Κυρίου καὶ Νυμφίου σου
ὑπὲρ τῶν τιμώντων ἐκθύμως τὴν μνήμην σου.

Ἦχος δ΄.

Ὢ τῶν θαυμασίων σου, Τατιανὴ πανθαύμαστε!
Ἐν ἐσχάτοις τοῖς χρόνοις πιστοῖς ὑπέδειξας
τὸν ἐν Αἰγίνῃ τόπον εὑρέσεως σῆς εἰκόνος,
ὀφθείσης πηγῆς ἀκεσωδύνου·
δεῦτε οὖν πάντες εὐλαβῶς αὐτὴν κατασπασώμεθα
καὶ ἐν κατανύξει εἴπωμεν·
Μὴ παύσῃ Αἰγινήτας περισκέπειν, πολύαθλε,
καὶ ἀσινεῖς συντηρεῖν τῶν βελῶν τοῦ Βελίαρ,
συμφώνως τῇ δοθείσῃ σοι χάριτι, πάνσεμνε.

**Δόξα. Ὁ αὐτός.**

Ἀλώβητος ἐκ τοῦ πυρὸς τοῦ βρέμοντος
καὶ ἐξ ὀδόντων θηρῶν ἀγρίων διαμείνασα
κολασμοὺς ποικίλους, Τατιανή, καθυπέμεινας
καὶ κεφαλῆς τῆς τιμίας σου ἀπότμησιν·
συναριθμηθεῖσα οὖν ἀπτοήτοις Μάρτυσι
καὶ δόξης οὐρανῶν ἀπολαύουσα
ἐκτενῶς τὸν σὸν Νυμφίον, Χριστόν, ἱκέτευε
ὑπὲρ τῶν τιμώντων ἐν ὕμνοις
τὴν πανσεβάσμιον μνήμην σου.

Scanned with CamScanner

www.tezaurliturgic.ro



**Καὶ νῦν. Θεοτοκίον. Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...**

**Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, Τατιανὴ θαυμαστή,
παρθενομάρτυς τοῦ Χριστοῦ ἀξιέραστε,
καλλώπισμα διακόνων
τῆς Ῥώμης καὶ ψυχικῆς
γενναιοφροσύνης
θεῖον κόσμημα,
Σεβήρου κατάπτωμα
Ἀλεξάνδρου τοῦ ἄφρονος
καὶτοῦ Κυρίου
Ἰησοῦ νύμφη ἔνδοξε,
ἡ τοῖς πένησι
πίστει διακονήσασα
καὶ πόθῳ ἀναλώσασα
σαυτὴν θείαις πράξεσι
φιλανθρωπίας, ἀγάπης
καὶ συμπαθείας πρὸς κάμνοντας,
πεινῶντας, δεσμίους,
ἀλγεινῶς ἐμπεριστάτους,
οἴμοι, καὶ στένοντας.

Στίχος. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Χαίροις, νύμφη Χριστοῦ τοῦ Θεοῦ
ὡραιοτάτη καὶ ἀμνὰς παναμώμητε
τοῦ θείου Ἀρχιποιμένος,
Τατιανὴ γεραρά,
διακόνων κλέος
πολυτίμητον,
σεπτὸν ἐγκαλλώπισμα
ἀθληφόρων καὶ σέμνωμα
στεῤῥῶν Μαρτύρων,
ἡ στολὴν πορφυρώσασα
τὴν ὑπέρλευκον
σῆς καρδίας αἱμάτων σου
ῥείθροις καὶ κεφαλότμητος
δραμοῦσα Νυμφίῳ σου
τῷ ποθεινῷ ὑπαντῆσαι
ἐν οὐρανίοις σκηνώμασιν,

Scanned with CamScanner

www.tezaurliturgic.ro


ἐν οἷς σὺν Ἀγγέλοις
ἐπαγάλλῃ καὶ δοξάζεις
Αὐτὸν ἀείποτε.

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Μάρτυς Τατιανή, θαυμαστῶς
τὴν εὑρεθεῖσαν ἐν Αἰγίνῃ εἰκόνα σου
ἐν χρόνοις ἐσχάτοις πίστει
εὐσεβοφρόνων χοροὶ
προσκυνοῦμεν πάντες
καὶ χαρίτων σου
πληθὺν μεγαλύνοντες
ἐκβοῶμεν· Ἀθλήτρια
σεμνὴ τῆς Ῥώμης,
διακόνων ἀγλάϊσμα
καὶ ὑπόδειγμα
ἀριστείας ἐν σκάμμασι,
δεῖξον ἡμῖν τὴν χάριν σου
καὶ πᾶσι κατάπεμψον
εὐχαῖς σου ἔλεος μέγα
τοῦ τοῦ Νυμφίου καὶ Κτίσαντος,
Χριστοῦ, Θεοῦ Λόγου,
εὐσεβέσι θεῖα γέρα
τοῦ ἀπονέμοντος.

Δόξα. Ἦχος πλ. δ΄.

Ἀναλωθεῖσαν ἐν ἔργοις εὐποιΐας
διάκονον τῆς ἐν Ῥώμῃ Ἐκκλησίας,
Τατιανήν, ὑμνήσωμεν τὴν πάνσεμνον,
ὡς σταδίου πρώταθλον
καὶ θαυμάτων ῥεῖθρον διειδέστατον
ἐν εὐλαβείᾳ ψάλλοντες·
Ἀλεξάνδρου Σεβήρου κατάπτωμα
καὶ πιστῶν λαμπρὸν ἀγαλλίαμμα,
ὡς ἔχουσα παῤῥησίαν
πρὸς τὸν ὡραῖον παρὰ πάντας βροτοὺς Νυμφίον σου,
τὸν Θεάνθρωπον Κύριον,
μὴ παύσῃ Αὐτῷ πρεσβεύουσα
ὑπὲρ εἰρήνης τοῦ κόσμου
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Scanned with CamScanner

www.tezaurliturgic.ro



**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

Νῦν ἀπολύεις....Τὸ **Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Τὴν Χριστῷ παρεστῶσαν μεγαλομάρτυρα
Τατιανήν, διακόνων
σεμνῶν ἐν Ῥώμῃ φανὸν
τηλαυγέστατον καὶ λύχνον παμφαέστατον
ἀθλητριῶν πανευσθενῶν
εὐφημήσωμεν λαμπρῶς,
αὐχένα τμηθεῖσαν ξίφει,
ὡς ἀριστείας πυξίον
καὶ πάντων πρέσβειραν πρὸς Κύριον.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

*************************************************

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον τῆς ἁγίας, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Ἀμνάς, Τατιανή,
τοῦ Ὑψίστου καλλίστη
καὶ νύμφη εὐπρεπὲς
τοῦ Θεοῦ Αὐτοῦ Λόγου,
ἀνδρείως ἐνήθλησας
καὶ γενναίως ὑπέκλινας
τὸν αὐχένα σου
εἰδωλοφρόνων τῷ ξίφει
ὥσπερ σφάγιον
καὶ ἱερεῖον, στεῤῥόφρον,
πανάμωμον πίστεως.

**Δόξα.** Τὸ αὐτό. **Καὶ νῦν. Θεοτοκίον.**

Εὐλόγει ἀκλινῶς
καὶ ἁγίαζε πάντας

Scanned with CamScanner

www.tezaurliturgic.ro



τοὺς μέλποντας πιστῶς
θαυμασίων σου πλῆθος,
σεμνὴ ἀειπάρθενε,
παντευλόγητε Δέσποινα,
παρακλήσεσι
Τατιανῆς τῆς ἀρίστης
καλλιμάρτυρος
καὶ τοῦ Υἱοῦ σου ἀμνάδος
ἀμώμου, Μητρόθεε.

**Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Στεῤῥόψυχον μέλψωμεν
Τατιανὴν εὐλαβῶς,
διάκονον ἔνθεον
τῆς Ἐκκλησίας Χριστοῦ
καὶ Μάρτυρα πάνσεμνον,
ξίφει ἀποτμηθεῖσαν
κεφαλὴν τὴν τιμίαν
ὡς Λυτρωτοῦ ἀμνάδα
εὐπρεπῆ τοῦ Ὑψίστου,
ἐν Ῥώμης τῷ σταδίῳ λαμπρῶς
τὴν ἀριστεύσασαν.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν πέλουσαν ἔσοπτρον
τῶν γυναικῶν διαυγές,
σεμνὴν ἀειπάρθενον,
Λόγου Ὑψίστου Θεοῦ
Μητέρα φιλόστοργον
μέλψωμεν εὐσχημόνως
εὐσεβῶν αἱ χορεῖαι
κράζοντες· Θεοτόκε,
σωφροσύνης χιτῶνα
σοὺς δούλους καὶ αἰδοῦς ἀληθῶς
ἔνδυσον, ἄχραντε.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα.**
**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Scanned with CamScanner

www.tezaurliturgic.ro


Σεμνὴν διάκονον τῆς Ῥώμης μέλψωμεν,
τὴν καταδείξασαν αὐτῆς συμπάθειαν
πρὸς τοὺς ἀναξιοπαθεῖς, ἀπόρους, ἐμπεριστάτους,
ἀσθενεῖς καὶ πένητας Ῥώμης καὶ ὑπομείνασαν
ἀκλινῶς μαρτύριον καὶ αὐχένος ἀπότμησιν,
κλεινὴν Τατιανήν, δι' ἀγάπην Λόγου Θεοῦ Ἐσταυρωμένου.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου καὶ τὸ Προκείμενον.**
Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.
**Στίχος.** Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

**Εὐαγγέλιον· Κατὰ Μᾶρκον.**
**Ζήτει τῇ Δευτέρᾳ τῆς ιε´ ἑβδομάδος Ματθαίου.**
Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς καὶ συνέθλιβον αὐτόν....

Ὁ Ν´ Ψαλμός.
**Δόξα.** Ταῖς τῆς Ἀθληφόρου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,...

Ἰδιόμελον. **Ἦχος πλ. β´.**
Στίχος. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὴν ὑπεραρθεῖσαν τῆς γυναικείας φύσεως
καὶ προθύμως χωρήσασαν πρὸς βασάνους καὶ θάνατον,
Τατιανήν, τὴν πολύαθλον ἐγκωμιάσωμεν Μάρτυρα,
ἀξιοχρέως ψάλλοντες·
Διάκονε τῆς ἐν Ῥώμῃ Ἐκκλησίας,
ἡ Ἀλέξανδρον Σεβῆρον αἰσχύνασα
καὶ εὐσεβεῖς ἀγλαΐσασα εὐτολμίᾳ καὶ πίστει σου,
μὴ παύσῃ τοῦ σοῦ οὐρανίου Νυμφίου δεομένη
ὑπὲρ τῶν τιμώντων τὴν μνήμην σου.

Scanned with CamScanner

www.tezaurliturgic.ro



Σῶσον, ὁ Θεός, τὸν λαόν Σου......

**Εἶτα ὁ Κανὼν τῆς Ἀθληφόρου, οὗ ἡ Ἀκροστιχίς·**

**«Τατιανῆς, σεμνῆς ἀθληφόρου ἐγκώμιον. Χ.»**

**Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.**

Τιμήσωμεν Μάρτυρα
Τατιανὴν τὴν καλλίνικον,
εὐῶδες λευκάνθεον
τῆς Ῥώμης καὶ τιμαλφὲς
ἐνδαίτημα
ἀνδρείας γεγηθότες
ὡς στήριγμα πίστεως
ἀδιασάλευτον.

Ἀνδρείως ὑπέμεινας,
Τατιανὴ ἀξιάγαστε,
δεινὰ κολαστήρια,
ξέσιν τῶν σῶν παρειῶν,
ἀνελέητον
δαρμὸν, καμίνου φλόγα
καὶ τμῆσιν αὐχένος σου,
Μάρτυς περίδοξε.

Τῆς Ῥώμης ἐκβλάστημα,
Τατιανή, εὐθαλέστατον,
διάκονε τίμιε
τῆς Ἐκκλησίας Χριστοῦ,
ἐθεράπευσας
ταῖς χρείαις τῶν πενήτων,
στενόντων ἐν θλίψεσι
καὶ περιστάσεσι.

**Θεοτοκίον.**

Ἰθύνουσα δούλους σου
μὴ διαλείπῃς, Μητρόθεε,
πρὸς τρίβον ἀπάγουσαν
πρὸς σωτηρίας νομὰς
καὶ πρὸς δώματα
ἀφθίτου εὐφροσύνης

Scanned with CamScanner

www.tezaurliturgic.ro



καὶ θείας σὺν Τόκῳ σου
ἀγαλλιάσεως.

Ὠδὴ γ΄. **Τοὺς σοὺς ὑμνολόγους.**

Ἀθλήσει ἐδόξασας ἀρίστη
ἐν Ῥώμῃ Χριστόν, Τατιανή,
τὸν πάγκαλον Νυμφίον σου,
ἐξ Οὗ χειρῶν χρυσότευκτον
ἐδέξω στέφος, ἔνοικε
παστάδος πόλου, ὑπέρτιμε.

Νικήσασα πίστει, ἀθληφόρε,
Σεβῆρον Ἀλέξανδρον, στυγνὸν
τῆς Ῥώμης αὐτοκράτορα,
Τατιανὴ Διάκονε,
τοῦ σοῦ Νυμφίου ἤγειρας
Χριστοῦ περίλαμπρον τρόπαιον.

Ἡ ἔνθους ἀθλήτρια τῆς Ῥώμης,
ἐξ οἴκου, σεμνὴ Τατιανή,
ἐπιφανοῦς, ἱμάτιον
περιεβλήθης πάγχρυσον
βασάνων καὶ ἐκτμήσεως
τοῦ πανιέρου αὐχένος σου.

Θεοτοκίον.

Συλλήπτωρ ἐδείχθης, Θεοτόκε,
ἡμῶν ἐν ἀνάγκαις καὶ δεινοῖς
καὶ πειρασμοῖς καὶ θλίψεσι,
τῶν πίστει προστρεχόντων σοι
καὶ ἀνυμνούντων Τόκον σου
πανευλαβῶς τὸν πανάχραντον.

Κάθισμα. Ἦχος γ΄. **Θείας πίστεως.**

Τὴν διάκονον πορφυρωθεῖσαν
ὄμβοις αἵματος οἰκείοις ὕμνοις
ὡς καλλώπισμα τῆς Ῥώμης τιμήσωμεν,
Τατιανήν, τοῦ σταδίου τὴν πρώταθλον,
καθυπομείνασαν κάρας ἀπότμησιν

Scanned with CamScanner

www.tezaurliturgic.ro



δι᾽ ἀγάπησιν Κυρίου τοῦ Παντοκράτορος,
Χριστοῦ, αὐτῆς Νυμφίου πανοικίρμονος.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ἀγαλλίαμμα ἐναθλουμένων,
ἐγκαλλώπισμα τῶν διακόνων
καὶ γενναίων νεανίδων ὡράϊσμα,
Τατιανή, τοῦ Χριστοῦ νύμφη πάγκαλε,
ἡ ἐν τῇ Ῥώμῃ λαμπρῶς ἐναθλήσασα,
καθιλέωσαι ἡμῖν εὐλαβῶς τιμῶσί σε
Χριστόν, Ὧ εὐηρέστησας ἀθλήσει σου.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Σωφροσύνης ἐκμαγεῖον,
εὐσεβείας κειμήλιον
καὶ δικαιοσύνης
ῥεῖθρον διειδές, ἀξιάγαστε
Τατιανή, τοὺς ἀπίστους κατετρόπωσας
μαρτυρίῳ σου
καὶ ἀποτμήσει αὐχένος σου.

Εὐθαρσῶς πρὸς μαρτυρίου
εὐκλεῆ κατορθώματα
ξέσιν τοῦ σαρκίου,
καῦσιν ἐν πυρὶ πολυώδυνον,
Τατιανή, καὶ αὐχένος σου ἐχώρησας
τμῆσιν κράζουσα·
Δέξαι, Χριστέ μου, τὴν δούλην σου.

Μαρτυρίου, ἀθληφόρε,
πίστει ἤνυσας στάδιον
καὶ ῥοαῖς αἱμάτων
σῶν, Τατιανή, ἐπορφύρωσας
στολὴν πανάγνου ψυχῆς σου, ἣν παρέδωκας
τῷ Νυμφίῳ σου
Χριστῷ ὡς δῶρον πολύτιμον.

**Θεοτοκίον.**

Νίκας δίδου τοῖς σοῖς δούλοις
κατ᾽ ἐχθρῶν, μητροπάρθενε,

Scanned with CamScanner

www.tezaurliturgic.ro



Κεχαριτωμένη,
ὁρατοῖς, πανύμνητε Δέσποινα,
καὶ ἀοράτοις, τοῖς πίστει μεγαλύνουσι
θαυμασίων σου
πληθὺν τὴν ἄμετρον, ἄχραντε.

**ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ἡγίασας ῥεύμασιν
αἱμάτων ὑπερτίμων σου
στάδιον, Τατιανή, τῆς Ρώμης,
καλλιμαρτύρων
πανευσθενῶν ἀκρεμὼν
καὶ γέρας σεμνῶν ἀθλητριῶν·
ὅθεν εὐφημοῦμέν σου
τὴν πανένδοξον ἄθλησιν.

Σεβήρου ἐπάτησας τὸ ἐπηρμένον φρύαγμα,
Μάρτυς, Ἀλεξάνδρου σῇ ἐνστάσει
καὶ μαρτυρίῳ,
Τατιανή, σῷ στεῤῥῷ·
διὸ καὶ ἐπέτυχες χοροῖς
θείοις συναγάλλεσθαι
τῶν Ἀγγέλων, πολύαθλε.

Ἀξίως τιμῶμέν σε,
Τατιανὴ πανεύφημε,
Λόγου τοῦ Θεοῦ ἀμνὰς καλλίστη,
ὡς διακόνων
πανευλαβῶν κορυφὴν
καὶ λύχνον στεῤῥῶν ἀθλητριῶν,
νοητὸν στερέωμα
τὸν φωτίζοντα πίστεως.

**Θεοτοκίον.**

Θεοῦ Μῆτερ ἄχραντε,
εὐλογημένη Δέσποινα,
Κεχαριτωμένη Θεοτόκε,
ῥῦσαι κινδύνων
καὶ ἀλγεινῶν πειρασμῶν
τοὺς σπεύδοντας σῇ ἐπισκοπῇ

Scanned with CamScanner

www.tezaurliturgic.ro

καὶ τὴν σὴν ἀντίληψιν
αἰτουμένους καὶ πρόνοιαν.

**ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.**

Λαμπρύνεις δήμους ἀείποτε
Μαρτύρων γυναικῶν, καρτερόψυχε,
Ῥώμης διάκοσμε,
Τατιανή, εὐτολμίᾳ σου
καὶ ἀποτμήσει κάρας
τῆς πανιέρου σου.

Ἡ ἐν σταδίῳ ἀθλήσασα,
Τατιανή, στεῤῥῶς καὶ αἰσχύνασα
τοὺς εἰδωλόφρονας
γενναιοφρόνῳ ἐνστάσει σου
θεόθεν ἀμαράντους
στεφάνους εἴληφας.

Φανὲ Χριστοῦ παμφαέστατε
τῆς πίστεως, ἐφώτισας σύμπαντα
σῆς ἐναθλήσεως,
Τατιανή, ἐκπυρσεύμασι
καὶ ἀστραπαῖς ἀνδρείας
σῆς ὑπὲρ ἔννοιαν.

**Θεοτοκίον.**

Ὁδὸν ἡμῖν καθυπόδειξον
χρηστότητος, σεμνὴ μητροπάρθενε,
κόσμου διάσωσμα,
τὴν πρὸ σκηνώσεις ἀπάγουσαν
τοῦ πόλου ὑπερφώτους,
Θεογεννήτρια.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τατιανήν, τὴν εὐσυμπάθητον διάκονον,
σταδίου Ῥώμης πορφυρώσασαν τὰ σκάμματα,
ταῖς ῥοαῖς αὐτῆς αἱμάτων ἐν εὐλαβείᾳ
εὐφημήσωμεν ὡς ἔνδοξον ἀθλήτριαν
κάρας ἔκτμησιν αὐτῆς καθυπομείνασαν
πόθῳ κράζοντες· Χαίροις, Μάρτυς ἀήττητε.

Scanned with CamScanner

www.tezaurliturgic.ro



Ὁ Οἶκος.

Ἄγγελοι κατιδόντες
τῆς ψυχῆς σου τὸ σθένος
ἐξέστησαν, καλλίνικε Μάρτυς,
χαριτόβρυτε Τατιανή,
καὶ πιστοὶ τῆς Ῥώμης σὴν λαμπρὰν ἄθλησιν
ἐν στίβῳ θεασάμενοι
ἐβόων σοι ἐν εὐλαβείᾳ·

Χαῖρε, τῆς Ῥώμης ὁ θεῖος γόνος·
χαῖρε, τῆς τόλμης κανὼν καὶ εὖχος.

Χαῖρε, Ἀλεξάνδρου Σεβήρου τὸ σύντριμμα·
χαῖρε, τοῦ Ὑψίστου τῆς πίστεως κόσμημα.

Χαῖρε, ὅτι καθυπέμεινας ἐκτομὴν σῆς κεφαλῆς·
χαῖρε, ὅτι καθηγίασας στίβον Ῥώμης τῆς κλεινῆς .

Χαῖρε, ἡ τοῖς θηρίοις τοῖς ἀγρίοις ῥιφεῖσα·
χαῖρε, ἡ τοῖς ῥανίσι σῶν αἱμάτων χρωσθεῖσα.

Χαῖρε, ἀμνὰς Ὑψίστου πανάμωμος·
χαῖρε, λαμπὰς ἁγνείας ὑπέρφωτος.

Χαῖρε, λαμπρᾶς ἐναθλήσεως φάρος·
χαῖρε, στεῤῥᾶς καρτερίας ὁ πύργος·

Χαίροις, Μάρτυς ἀήττητε.

Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΒ΄ Ἰανουαρίου. Εἶτα λέγομεν·

Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τῆς Ἁγίας ἐνδόξου Μάρτυρος Τατιανῆς, τῆς ἐν Ῥώμῃ διακόνου, ξίφει τὴν κεφαλὴν ἀποτμηθείσης.

Στίχοι.

Τατιανή, Κυρίου νύμφη καλλίστη,
διακόνων μαρτύρων ἀριστεὺς ὤφθης.

Συναξάριον.

Ἡ Ἁγία Μάρτυς Τατιανὴ ἦν ἐκ Ῥώμης, θυγάτηρ πλουσίου ὑπατικοῦ, ἐν τοῖς χρόνοις Ἀλεξάνδρου τοῦ Σεβήρου (222-235). Ὡς ἄμωμος παρθένος καὶ εὐσυμπάθητος διάκονος τῆς ἐν Ῥώμῃ Ἐκκλησίας, τὰ πάθη τῆς σαρκὸς χαλινώσασα καὶ ἑαυτὴν τῇ

Scanned with CamScanner

www.tezaurliturgic.ro


διακονίᾳ τῶν πενήτων καὶ ἐμπεριστάτων ἀφιερώσασα ἠξιώθη ἀπολαβεῖν στεφάνου τοῦ μαρτυρίου. Ἐνώπιον τοῦ ἀνόμου ἄνακτος Χριστὸν ὁμολογήσασα ὑπέστη φρικτὰ κολαστήρια· ἐξέσθη τὴν σάρκα, ἐκρεμάσθη, ἐξυρήθη τὴ κεφαλήν, θηρσὶ καὶ πυρὶ παρεδόθη καὶ ἐν τέλει τὸν αὐχένα ἀπετμήθη.

Ἐν τοῖς ἐσχάτοις χρόνοις, ἐν ἔτει 1903, θαυμαστῇ αὐτῆς ὑποδείξει εὑρέθη ἐν Αἰγίνῃ ἡ πάνσεπτος αὐτῆς εἰκὼν ὑπὸ τῆς εὐλαβοῦς Ἑλένης Θεοδοσίου Μοίρα, ἔνθα Ναὸς φερώνυμος αὐτῆς ᾠκοδομήθη, ὀφθεὶς φρέαρ ἀκεσώδυνον καὶ πηγὴ θαυμασίων.

Ταῖς αὐτῆς ἁγίαις πρεβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. **Οὐκ ἐλάτρευσαν.**

Ῥόδον εὔοσμον,
Τατιανή, τῆς πίστεως,
εὐῶδες κύμινον
ἀθλητικῆς ἀγωγῆς
καὶ ἴον ἡδύπνευστον
ἀνδρείας, ἥδυνας
γενναιότητος
καρδίας εὐωδίᾳ σου
τοὺς χοροὺς εὐσεβοφρόνων.

Ὅλῃ, πάνσεμνε
Τατιανή, ἐφέσει σου
καρδίας ἤνυσας
τοῦ μαρτυρίου ὁδὸν
καὶ κάραν σου ἔκλινας
τὴν παναμώμητον
ξίφει, ἔνδοξε,
Σεβήρου εἰδωλόφρονος
Ἀλεξάνδρου, καλλιμάρτυς.

Ὑπερύμνητε
Τατιανή, ὡς ἄσαρκος
καλῶς ὑπέμεινας
σαρκὸς ξεσμούς, τοῦ πυρὸς
τὴν φλόγα καὶ ἔκτμησιν
σεπτοῦ αὐχένος σου
δι᾽ ἀγάπησιν

Scanned with CamScanner

www.tezaurliturgic.ro



Χριστοῦ τοῦ Παντοκράτορος,
οὐρανίου σου Νυμφίου.

**Θεοτοκίον.**

Ἐξ εὐκλείας σου
τοῦ ὕψους, Μητροπάρθενε,
πέμψον τὴν χάριν σου
τοῖς σὲ τιμῶσι λαμπρῶς
καὶ πλῆθος χαρίτων σου,
Θεογεννήτρια
παντευλόγητε,
ἐν ᾄσμασι γεραίρουσι
καὶ ψαλμοῖς μελισταγέσι.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Γέρας πολυτίμητον ἐδέξω
θεόθεν ὡς ἐπιβράβευσιν ἀθλήσεως
σῆς ἐνδόξου, πάνσεμνε
Μάρτυς, καὶ τὸν στέφανον,
Τατιανή, τὸν ἄφθαρτον
ἐκ τοῦ ὡραίου σου
Νυμφίου τῶν χειρῶν, δωρουμένου
πᾶσιν εὐσεβέσι
τὸ ἔλεος τὸ μέγα.

Κλέϊσμα Χριστοῦ τῆς Ἐκκλησίας,
ἀμάρυγμα διακόνων παμφαέστατον,
ἀρετῆς θησαύρισμα
καὶ ἀνδρείας σκήνωμα,
Τατιανή, διήνυσας
σταδίου σκάμματα
φρονήματι ἀνδρῴῳ καὶ θράσος
ἔλυσας Σεβήρου
ἀνόμου Ἀλεξάνδρου.

Ὤφθης καλλινίκων πολυάθλων
Μαρτύρων, Τατιανή, σεπτὸν καλλώπισμα,
Ῥώμης θεῖον βλάστημα
καὶ στεῤῥὸν κρηπίδωμα
τῆς Ἐκκλησίας· ὅθεν σου

Scanned with CamScanner

www.tezaurliturgic.ro


τὰ κατορθώματα
ὑμνοῦντες τὴν ἁγίαν σου μνήμην
ᾄσμασιν εὐτάκτοις
λαμπρῶς ἐπιτελοῦμεν.

Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ δεδοξασμένη,
ἡ πρόξενος σωτηρίας τοῦ συστήματος
τῶν βροτῶν, ἐπάκουσον
νῦν τῶν δεομένων σου
καὶ πέμψον θείαν χάριν σου
θεόθεν ἅπασι
δοξάζουσι τὸν θεῖόν σου Τόκον
καὶ ἀνευφημοῦσι
σῶν θαυμασίων πλῆθος.

Ὠδὴ θ΄. **Ἅπας γηγενής.**

Ἴον ψυχικῆς
ἀνδρείας πανεύοσμον
καὶ γενναιότητος
κρίνον εὐωδέστατον,
ὀδμαῖς χαρίτων
τῶν σῶν κατηύφρανας
Αἰγινητῶν συστήματα
τῶν προσκυνούντων σου
τὴν εἰκόνα,
ἐν Ναῷ πανσέπτῳ σου,
Μάρτυς Τατιανὴ ὑπερθαύμαστε.

Ὄμβρισον ἡμῖν
τιμῶσι τὴν μνήμην σου
τὴν πανσεβάσμιον
ἐν Αἰγίνῃ, ἔνδοξε,
σῆς προστασίας
καὶ ἀντιλήψεως,
Τατιανὴ πανεύφημε,
Μαρτύρων σέμνωμα,
ὄμβρον θεῖον,
ἵνα μεγαλύνωμεν
πρὸς ἡμᾶς τὴν πολλήν σου συμπάθειαν.

Scanned with CamScanner

www.tezaurliturgic.ro


Νίκας κατ' ἐχθρῶν
ἱκέταις σου δώρησαι,
ἀειμακάριστε,
σπεύδουσιν εἰς Αἴγιναν
τὴν σὴν ἁγίαν
μορφὴν ἀσπάσασθαι,
Τατιανή, ἣν χάρις σου
πιστοῖς ὑπέδειξεν
ἄρτι οὖσαν
κεκρυμμένην, πάνσεμνε,
ἐν λαγόσι τῆς γῆς πλείστοις ἔτεσι.

Θεοτοκίον.

Χαῖρε, ἀληθῶς,
σεμνὴ ἀειπάρθενε,
Θεογεννήτρια,
σκέπη ἀπροσμάχητος
τῶν προστρεχόντων
σῇ θείᾳ χάριτι
καὶ προστασίᾳ ἄγρυπνε
τῶν ἐν τοῖς κλύδωσι
προστρεχόντων
βίου ἀντιλήψει σου
τῇ θερμῇ, παντευλόγητε Δέσποινα.

Ἐξαποστειλάριον. **Γυναῖκες ἀκουτίσθητε.**

Τατιανήν, Διάκονον
τῆς Ῥώμης εὐφημήσωμεν,
τὴν ὑπομείνασαν πίστει
σαρκίου ξέσιν, βασάνους
φρικτοὺς ὡς ἄλλου πάσχοντος
καὶ κεφαλῆς ἀπότμησιν
διὰ Χριστόν, τὸν Κύριον,
νέμοντα πᾶσι θεόθεν
τῆς ἀφθαρσίας στεφάνους.

Θεοτοκίον.

Ἡγιασμένον σκήνωμα
τοῦ Λόγου τοῦ Παντάνακτος,

Scanned with CamScanner

www.tezaurliturgic.ro


εὐλογημένη Παρθένε,
Θεογεννῆτορ Μαρία,
εὐλόγει καὶ ἁγίαζε
τοὺς πίστει σοι προστρέχοντας
καὶ πόθῳ καταφεύγοντας
σῇ ἀῤῥαγεῖ προστασίᾳ
καὶ ἐναργεῖ ἀντιλήψει.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**

**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!**

Ῥώμης ἱερὸν ἐκβλάστημα,
Τατιανὴ γεραρά,
διακόνων ἀκρώρεια,
ἀθληφόρων σέμνωμα
καὶ οἰκῆτορ ὑπέρλαμπρε
παστάδος πόλου,
ὑψόθεν ἅπασι
πέμψον σὴν χάριν
καὶ σὴν ἀντίληψιν,
Μάρτυς πανάριστε,
τοῖς ἀνευφημοῦσί σε
καὶ μελιχροῖς
ὕμνοις καταστέφουσι
τὰ σὰ παλαίσματα.

Μάρτυς τοῦ Χριστοῦ πανάριστε,
Τατιανή, εὐσεβῶν
ἀθληφόρων καλλώπισμα,
ἡ τοῦ αὐτοκράτορος
ἐδαφίσασα φρύαγμα
τὸ ἐπηρμένον
καὶ ἀγλαΐσασα
εὐσεβοφρόνων
τῆς Ῥώμης σύστημα,
πόθῳ ὑπέμεινας
ξέσιν τοῦ σαρκίου σου καὶ φυλακὴν
ἅμα τοῦ τιμίου σου
αὐχένος ἔκτμησιν.

Scanned with CamScanner

www.tezaurliturgic.ro



Χαῖρε, ἀριστείας ἔκτυπον,
Τατιανή, ἀσινὴς
ἀληθῶς παραμείνασα
ἐν πυρὶ τῷ βρέμοντι
ὡς Τρεῖς Παῖδες πανθαύμαστοι
τῆς Βαβυλῶνος,
Μάρτυς ἀήττητε,
καὶ ἐξ ὀδόντων
θηρῶν τῇ χάριτι
τοῦ δυναμώσαντος
σὲ Χριστοῦ ἐν σκάμματι μαρτυρικῷ
σὲ ἰσχύος πλήσαντος
ἐχθρῶν πρὸ βήματος.

Μνήμην τὴν σεπτήν σου ἄγοντες,
Τατιανή, οἱ πιστοὶ
τῆς Αἰγίνης εἰκόνα σου
θείαν προσπτυσσόμεθα,
ἣν ἀρτίως ἀνέσυρεν
ἐκ γῆς λαγόνων
γυνή, ἀοίδιμε,
τῆς νήσου ταύτης,
νῦν εὐφημούσης σε
καὶ ἀνυμνούσης σου
τὰ στεῤῥὰ παλαίσματα πρὸς τοῦ Χριστοῦ
τοῦ σεπτοῦ ὀνόματος
δόξαν καὶ αἴνεσιν.

**Δόξα. Ἦχος πλ. α΄.**

Διακόνων τῆς Ῥώμης λαμπρὸν σεμνολόγημα
καὶ νύμφην Χριστοῦ καλλίστην,
Τατιανὴν τὴν παρθενομάρτυρα, ὑμνήσωμεν
ὡς εὐσεβείας καὶ ἀριστείας πρότυπον
ἐν κατανύξει λέγοντες·
Ἡ πεποικιλμένη μαργάροις αἵματος
καὶ ὡραϊσμένη στεφάνῳ ψυχικῆς γενναιότητος,
δεῖξον ἡμῖν τὴν δαψιλῶς δοθεῖσάν σοι χάριν
καὶ σπεῦσον βοηθῆσαι ἐν ἀνάγκαις τοῖς σὲ μεγαλύνουσι.

**Καὶ νῦν. Θεοτοκίον.** Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Scanned with CamScanner

www.tezaurliturgic.ro


*******************************************

# ΕΝ Τῌ ΛΕΙΤΟΥΡΓΙᾼ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τῆς Ἀθληφόρου ἡ γ´ καὶ ἡ στ´ ᾠδή.
Ἀπόστολος τῆς Ἁγίας Βαρβάρας.
Εὐαγγέλιον τῶν Δέκα Παρθένων, ὅπερ ζήτει τῷ ιζ´ Σαββάτῳ τοῦ Ματθαίου.
Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Χαίροις, καλλιμάρτυς Τατιανή,
ἔργοις εὐποιΐας
ἡ διάκονος ἡ σεμνή,
χαίροις, ἡ προθύμως
τὴν ἐκκοπὴν αὐχένος
διὰ Χριστοῦ τὴν πίστιν
καθυπομείνασα.

**Τρισσεῦον Κύριε Ἐλέησον Λιτῆς Ἁγίου Ὄρους.**

Δός, *Τατιανή,* ἰσχύν,* *Μάρτυς,* θραῦσαι φρύαγμα,* πλάνου τοῖς τιμῶσί σε.

Τρίστιχον.

Ἐφραὶμ καὶ Ἐμμανουὴλ ὕμνησε χάριν
ἀθληφόρον Τατιανὴν Χαραλάμπης.

ΤΕΛΟΣ

ΚΑΙ ΔΟΞΑ

ΤΩ ΜΟΝΩ ΑΛΗΘΙΝΩ ΘΕΩ ΗΜΩΝ

Ἀριθμ. Καταλ. Α 777 / 2 - 3 - 16

Scanned with CamScanner